Bisetus. Ὁ χορὸς τὸν Ἀγοράκριτον A θαῤῥεῖν κελεύει.

Χο. Νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτῷ,
Καὶ λῆμα θούριον φορεῖν, καὶ λόγους ἀφύκτους.
Ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἁνήρ,
Κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων. B
Πρὸς ταῦθ', ὅπως ἔσει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
Ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι, πρότερος σὺ
Τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παραβάλλου.

*Ch. Nunc omnem à temetipso oportet immittere rudentem:*
*Animumq́; præsentem huc adferre, & argumenta tecum*
*Inuicta, quibus hostem superes: quoniam vir versipellis*
*Est, qui è viis incertis certas nouit comminisci.*
*Quapropter copiosus, & elegans contra virum esto.*
*Verùm obserua, priusquàm te ille aggrediatur, tu prior ipso*
*Delphinas vt sustollas, & lembum vt habeas paratum.*

Σχόλια. Νῦν δεῖ σε.] κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι. μεσῳδικὴ δὲ διὰ τὸ ἑξῆς εἰσάγεσθαι ἑτέραν διπλῆν ἐκ στίχων πέντε. ὧν οἱ μὲν τρεῖς ἀσυνάρτητοι, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου τοῦ καλουμένου Ἀνακρεοντίου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ τοῦ καλουμένου Ἀρχιλοχείου. καλεῖται δὲ ταῦτα ἀσυνάρτητα Εὐριπίδεια. εἰσὶ γὰρ ὅμοια τῷ Εὐριπίδου ἕως ἡνίχ' ἱππότης ἐξέλαμψεν ἀστήρ. οἱ δὲ ἑξῆς δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν ἐκθέσει ἐπὶ τὸ ἔθιμον. διπλῆ ἀνάπαιστος τετράμετρος καταληκτική ὑφ' ὃ παράγραφος διπλῆ. καὶ ἑξῆς στίχοι ὁμοίως ξγ'. ἐφ' ὧν τῷ τέλει κορωνίς. Κάλων.] παροιμία. πάντα δὴ κάλων κινεῖν. εἴληπται δὲ ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων, καὶ τὰ σχοινία ῥιπτόντων σὺν ταῖς ἀγκύραις ἐπὶ θάλασσαν, ὥστε τοῦ κλύδωνος ῥύεσθαι τὸ πλοῖον. ὁμοία δὲ τῇ πάντα λίθον κίνει. τοῦ γὰρ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς, φήμη κατεῖχεν ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίποι. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον πολὺν χρόνον ἐζήτει. ὡς δὲ οὐδὲν ἐπέραινε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι πάντα λίθον κίνει. καὶ ἐν ἐπιγράμματι Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ ὡνὴρ τοὺς Μουσέων πάντας ἔσεισε κάλως. φησὶν οὖν πάντα κίνει πράγματα. καὶ πάντα μηχανῶ κατὰ τοῦ Κλέωνος, ἵνα αὐτοῦ περιγένῃ. κάλων δὲ τὸ σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει. ἁπλοῦν σε δεῖ τὰ ἄρμενα, οἷον πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτόν. θούριον δὲ λῆμα. ὁρμητικόν. ταχύ. πηδητικόν. πολεμικώτατον. καὶ

C θούριος Αἴας. θούριος Ἄρης. ποικίλος δὲ ὁ ἐπὶ πολλὰ τῆς γνώμης ἄγων. Κἀκ τῶν ἀμηχάνων.] ἐκ τῶν ἀπόρων εὐπόρους ἀφορμάς. καὶ εὐαφόρμους. καὶ εὐσυνέτους. λόγων εὐπορίας. ταῦτα δὲ παρὰ τὰ ἐν Προμηθεῖ Αἰσχύλου. δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους. Πρὸς ταῦθ' ὅπως ἔσει] διὰ ταῦτα φρόντιζε ὅπως ἐπεξελεύσῃ καὶ λαμπρὸς δόξῃς εἶναι πλήρης λόγων καὶ φρονήματος ἀλλὰ φυλάσσου καὶ ἐπιτήρει. Τοὺς δελφῖνας μετεωρίζου] δελφὶς ὄργανον ναυτικόν. μετεωρίζου δὲ, τουτέστιν εἰς ὕψος αἶρε. ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων πηδήματα μετέωρα. μέμνηται δὲ καὶ D Θουκυδίδης. ἄλλως. δελφὶς ἐξάρτημα τῶν νεῶν. ἀγκυρώματα. ἄλλως. σιδηροῦν κατασκεύασμα ἢ μολιβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. δηλοῦται δὲ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις, ὅταν λέγῃ. ὁ δὲ δὴ δελφὶς, ἐστὶ μολιβδοῦς. δελφινοφόρος τε κέρδος διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. καὶ Θουκυδίδης δελφινοφόρον εἴρηκε τὴν ναῦν ἐξηρτῆσθαι, τὴν ἐξηρτημένην ἔχουσαν δελφῖνα τοιοῦτον. ἐν γὰρ τῇ ἑβδόμῃ ἔπειτά φησιν αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν εὔπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον. E δελφίνιον δὲ ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν οὕτω καλούμενον. ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον. καὶ χωρίον ἐν Χίῳ. Τὴν ἄκατον παραβάλλου.] ἑτοίμην ποίει ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου αὐτὴν ἐμβησόμενος.

Bisetus. Τὴν ἄκατον καλεῖ πλοίου τι εἶδος. καὶ οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς προφέρουσιν. ὅθεν τὸ ὑποκοριστικὸν, ἀκάτιον. ἀλλαχοῦ δὲ ἡ ἄκατος ποτήριόν τι πλοιοειδὲς σημαίνει.

F

---

Bisetus. Κλέων, καὶ Ἀγοράκριτος ἐξ ὑποβολῆς, καὶ ἐναλλὰξ τὰς ἑαυτῶν εἰς τὴν πόλιν εὐεργεσίας διηγοῦνται, καὶ ἀλλήλους λοιδοροῦσι.

Κλ. Τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ, τῇ τῆς πόλεως μεδεούσῃ,
Εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι G
Βέλτιστος ἀνὴρ, μετὰ Λυσικλέα, καὶ Κύνναν, καὶ Σαλαβάκχαν,
Ὥσπερ νυνὶ μηδὲν δράσας, δειπνεῖν ἐν τῷ Πρυτανείῳ.

*CL. Principio Deam ego Mineruam, conseruatricem istius urbis*
*Veneror atque oro: si ego de ciuibus optima sum meritus, post*
*Lysiclem, & Cynnam, ac Salabaccham meretrices: vt nihil æqui*
*Aut boni agendo, nihilominus in Prytaneo prandia sumam.*